# HOLY BAPTISM

# ΤΟ ΑΓΙΟΝ ΒΑΠΤΙΣΜΑ



St Andrew's Orthodox Press
SYDNEY
2008

First published 2008 by
Greek Orthodox Archdiocese of Australia
242 Cleveland Street
Redfern, NSW 2016

Copyright © 2008 Greek Orthodox Archdiocese of Australia

This work is subject to copyright. Apart from any use permitted under the Copyright Act 1968, no part may in any form or by any means (electronic, mechanical, photocopying, recording or otherwise) be reproduced, stored in a retrieval system of transmitted without prior written permission from the publisher. Enquiries should be addressed to the publisher.

National Library of Australia
Cataloguing-in-Publication Data

Holy Baptism = To Agion Baptisma.

ISBN 9780977597420 (hbk.)

1. Orthodox Eastern Church - Liturgy. 2. Orthodox Eastern Church - Prayers and devotions. 3. Baptism - Orthodox Eastern Church. 4. Sacraments - Orthodox Eastern Church. I. Greek Orthodox Archdiocese of Australia. II. Title: Agion Baptisma.

265.1

Typeset in 12 point Garamond and 11 point SymbolGreek II (Linguist's Software). Icon drawing by Fr Nicholas Brown.

# CONTENTS


Preface vii

**Making of a Catechumen** 3
Εἰς τὸ Ποιῆσαι Κατηχούμενον

**Service of Holy Baptism** 33
Ἀκολουθία τοῦ Ἁγίου Βαπτίσματος

**Katavasias** 93
Καταβασίαι

**Service of Holy Chrismation** 105

**Baptism in an Emergency** 117

# PREFACE

With the blessing of His Eminence Archbishop Stylianos of Australia, the Committee on the Translation of Liturgical Texts has worked for some years on the present translation of the Baptism Service. It has been a challenging task because of the unusual nature of some of the language and the complexity of the service itself. Other translations have been carefully compared, but this is intended to be a more accurate version, the need for which became evident. His Grace Bishop Seraphim of Apollonias was adviser to the Committee and gave his time to assist with the resolution of many difficult questions. The Committee, chaired by Dr John Lee, is grateful to him and a number of parish priests who gave their reactions. The Greek text is basically that in the *Mikron Efchologion,* with adjustments in the order to match actual practice, with His Grace's advice. Included in the book are not only the usual parts but a Service of Chrismation for already baptised persons entering the Orthodox Church.


Ἡ ΒΑΠ ΤΙϹΙϹ

# HOLY BAPTISM

# ΤΟ ΑΓΙΟΝ ΒΑΠΤΙΣΜΑ

# ΑΚΟΛΟΥΘΙΑ
# ΕΙΣ ΤΟ ΠΟΙΗΣΑΙ ΚΑΤΗΧΟΥΜΕΝΟΝ

*Ὁ ἱερεύς, φέρων ἐπιτραχήλιον, καὶ ἱστάμενος εἰς τὸν νάρθηκα, ἐμφυσᾷ εἰς τὸ πρόσωπον τοῦ μέλλοντος φωτισθῆναι καὶ σφραγίζει μετὰ τῆς χειρὸς αὐτοῦ τὸ μέτωπον καὶ τὸ στῆθος ἐκ τρίτου λέγων·*

Εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν. *(γ´)*

*Εἶτα ἐκφωνεῖ·*

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

*Κατὰ τὴν περίοδον τοῦ Πάσχα τό·* Χριστὸς ἀνέστη...

*Καὶ ἐπιτίθησι τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ (αὐτῆς), λέγων τὴν παροῦσαν εὐχήν.*

### *Εὐχή*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Λαός·* **Κύριε, ἐλέησον.**

*Ἱερεύς·* Ἐπὶ τῷ ὀνόματί σου, Κύριε, ὁ Θεὸς τῆς ἀληθείας, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ Ἁγίου σου Πνεύματος, ἐπιτίθημι τὴν χεῖρά μου ἐπὶ τὸν δοῦλόν *(τὴν δούλην)* σου *(τόνδε ἢ τήνδε)* τὸν καταξιωθέντα *(τὴν καταξιωθεῖσαν)* καταφυγεῖν ἐπὶ τὸ ἅγιον ὄνομά σου, καὶ ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου διαφυλαχθῆναι. Ἀπόστησον ἀπ᾽ αὐτοῦ *(αὐτῆς)* τὴν παλαιὰν ἐκείνην πλάνην, καὶ ἔμπλησον αὐτὸν *(αὐτὴν)* τῆς εἰς σὲ πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης, ἵνα γνῷ ὅτι σὺ εἶ Θεὸς μόνος, Θεὸς ἀληθινός, καὶ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ τὸ Ἅγιόν σου Πνεῦμα. Δὸς αὐτῷ *(αὐτῇ)* ἐν πάσαις ταῖς ἐντολαῖς σου πορευθῆναι, καὶ τὰ ἀρεστά σοι φυλάξαι· ὅτι ἐὰν ποιήσῃ αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς. Γράψον αὐτὸν *(αὐτὴν)* ἐν βίβλῳ ζωῆς σου καὶ ἕνωσον αὐτὸν *(αὐτὴν)* τῇ ποίμνῃ τῆς κληρονομίας σου· δοξασθήτω τὸ ὄνομά σου τὸ ἅγιον ἐπ᾽ αὐτῷ *(αὐτῇ)* καὶ τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος. Ἔστωσαν οἱ ὀφθαλμοί σου ἀτενίζοντες εἰς αὐτὸν *(αὐτὴν)* ἐν ἐλέει διαπαντός, καὶ τὰ ὦτά

σου τοῦ ἀκούειν τῆς φωνῆς τῆς δεήσεως αὐτοῦ *(αὐτῆς)*. Εὔφρανον αὐτὸν *(αὐτὴν)* ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ *(αὐτῆς)*, καὶ ἐν παντὶ τῷ γένει αὐτοῦ *(αὐτῆς)*· ἵνα ἐξομολογήσηταί σοι, προσκυνῶν *(προσκυνοῦσα)* καὶ δοξάζων *(δοξάζουσα)* τὸ ὄνομά σου τὸ μέγα καὶ ὕψιστον, καὶ αἰνέσῃ σε διαπαντὸς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ *(αὐτῆς)*. Σὲ γὰρ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

### *Ἀφορκισμὸς α΄*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Λαός·* **Κύριε, ἐλέησον.**

*Ἱερεύς·* Ἐπιτιμᾷ σοι Κύριος, Διάβολε, ὁ παραγενόμενος εἰς τὸν κόσμον καὶ κατασκηνώσας ἐν ἀνθρώποις, ἵνα τὴν σὴν καθέλῃ τυραννίδα καὶ τοὺς ἀνθρώπους ἐξέληται· ὃς ἐπὶ ξύλου τὰς ἀντικειμένας δυνάμεις ἐθριάμβευσεν, ἡλίου σκοτισθέντος καὶ γῆς σαλευομένης, καὶ μνημάτων ἀνοιγομένων, καὶ σωμάτων Ἁγίων ἀνισταμένων· ὃς ἔλυσε θανάτῳ τὸν θάνατον, καὶ κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου,

τουτέστι, σὲ τὸν Διάβολον. Ὁρκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ δείξαντος τὸ ξύλον τῆς ζωῆς καὶ τάξαντος τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φρουρεῖν αὐτό. Ἐπιτιμήθητι καὶ ἀναχώρησον· κατ' ἐκείνου γάρ σε ὁρκίζω τοῦ περιπατήσαντος, ὡς ἐπὶ ξηρᾶς, ἐπὶ νῶτα θαλάσσης, καὶ ἐπιτιμήσαντος τῇ λαίλαπι τῶν ἀνέμων· οὗ τὸ βλέμμα ξηραίνει ἀβύσσους καὶ ἡ ἀπειλὴ τήκει ὄρη. Αὐτὸς γὰρ καὶ νῦν ἐπιτάσσει σοι δι' ἡμῶν· Φοβήθητι, ἔξελθε, καὶ ὑπαναχώρησον ἀπὸ τοῦ πλάσματος τούτου, καὶ μὴ ὑποστρέψῃς, μηδὲ ὑποκρυβῇς ἐν αὐτῷ, μηδὲ συναντήσῃς αὐτῷ ἢ ἐνεργήσῃς ἢ ἐνραγῇς, μὴ ἐν νυκτί, μὴ ἐν ἡμέρᾳ ἢ ὥρᾳ ἢ ἐν μεσημβρίᾳ· ἀλλ' ἄπελθε εἰς τὸν ἴδιον τάρταρον, ἕως τῆς ἡτοιμασμένης μεγάλης ἡμέρας τῆς κρίσεως. Φοβήθητι τὸν Θεὸν τὸν καθήμενον ἐπὶ τῶν Χερουβίμ, καὶ ἐπιβλέποντα ἀβύσσους· ὃν τρέμουσιν Ἄγγελοι, Ἀρχάγγελοι, Θρόνοι, Κυριότητες, Ἀρχαί, Ἐξουσίαι, Δυνάμεις, τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ· ὃν τρέμει ὁ οὐρανὸς καὶ ἡ γῆ, ἡ θάλασσα καὶ πάντα τὰ ἐν αὐτοῖς. Ἔξελθε καὶ ἀναχώρησον ἀπὸ τοῦ σφραγισθέντος νεολέκτου στρατιώτου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· κατ' ἐκείνου γάρ σε ὁρκίζω, τοῦ περιπατοῦντος ἐπὶ πτερύγων ἀνέμων, τοῦ ποιοῦντος τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. Ἔξελθε καὶ ἀναχώρησον ἀπὸ τοῦ

πλάσματος τούτου σὺν πάσῃ τῇ δυνάμει καὶ τοῖς ἀγγέλοις σου. Ὅτι δεδόξασται τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

### *Ἀφορκισμὸς β´*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Λαός·* **Κύριε, ἐλέησον.**

*Ἱερεύς·* Ὁ Θεός, ὁ ἅγιος, ὁ φοβερὸς καὶ ἔνδοξος, ὁ ἐπὶ πᾶσι τοῖς ἔργοις καὶ τῇ ἰσχύϊ αὐτοῦ ἀκατάληπτος καὶ ἀνεξιχνίαστος ὑπάρχων· αὐτὸς ὁ προορίσας σοι, Διάβολε, τῆς αἰωνίου κολάσεως τὴν τιμωρίαν, δι᾽ ἡμῶν τῶν ἀχρείων αὐτοῦ δούλων κελεύει σοι, καὶ πάσῃ τῇ συνεργῷ σου δυνάμει, ἀποστῆναι ἀπὸ τοῦ *(τῆς)* νεωστὶ σφραγισθέντος *(σφραγισθείσης)* ἐπ᾽ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Ὁρκίζω σε οὖν, παμπόνηρον καὶ ἀκάθαρτον καὶ μιαρὸν καὶ ἐβδελυγμένον καὶ ἀλλότριον πνεῦμα, κατὰ τῆς δυνάμεως Ἰησοῦ Χριστοῦ, τοῦ πᾶσαν ἐξουσίαν ἔχοντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, τοῦ εἰπόντος τῷ κωφῷ καὶ ἀλάλῳ δαίμονι· Ἔξελθε ἀπὸ τοῦ

ἀνθρώπου καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. Ἀναχώρησον, γνώρισον τὴν σὴν ματαίαν δύναμιν, τὴν μηδὲ χοίρων ἐξουσίαν ἔχουσαν. Ὑπομνήσθητι τοῦ ἐπιτάξαντός σοι, κατὰ τὴν σὴν αἴτησιν, εἰς τὴν ἀγέλην τῶν χοίρων εἰσελθεῖν. Φοβήθητι τὸν Θεόν, οὗ τῷ προστάγματι ἡ γῆ καθ' ὑδάτων ἐστήρικται· τὸν κτίσαντα τὸν οὐρανόν, καὶ στήσαντα τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ, καὶ θέντα ἄμμον θαλάσσῃ ὅριον, καὶ ἐν ὕδατι σφοδρῷ τρίβον ἀσφαλῆ· τὸν ἁπτόμενον τῶν ὀρέων καὶ καπνίζονται· τὸν ἀναβαλλόμενον φῶς ὡς ἱμάτιον· τὸν ἐκτείνοντα τὸν οὐρανὸν ὡσεὶ δέρριν· τὸν στεγάζοντα ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ· τὸν θεμελιοῦντα τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς· οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὸν προσκαλούμενον τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέοντα αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἔξελθε, καὶ ἀναχώρησον ἀπὸ τοῦ *(τῆς)* πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένου *(εὐτρεπιζομένης)*. Ὁρκίζω σε κατὰ τοῦ σωτηριώδους πάθους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ τιμίου αὐτοῦ Σώματος καὶ Αἵματος, καὶ κατὰ τῆς ἐλεύσεως αὐτοῦ τῆς φοβερᾶς. Ἥξει γάρ, καὶ οὐ χρονιεῖ, κρίνων πᾶσαν τὴν γῆν, καὶ σὲ καὶ τὴν συνεργόν σου δύναμιν κολάσει εἰς τὴν γέενναν τοῦ πυρός, παραδοὺς εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ σκώληξ ὁ ἀκοίμητος, καὶ τὸ πῦρ οὐ σβέννυται. Ὅτι τὸ κράτος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, σὺν τῷ

Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

*Ἀφορκισμὸς γ´*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Λαός·* **Κύριε, ἐλέησον.**

*Ἱερεύς·* Κύριε Σαβαώθ, ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν *(τὴν δούλην)* σου, ἐκζήτησον, ἐξερεύνησον, καὶ ἀπέλασον ἀπ᾿ αὐτοῦ *(αὐτῆς)* πάντα τὰ ἐνεργήματα τοῦ Διαβόλου. Ἐπιτίμησον τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ δίωξον αὐτά, καὶ καθάρισον τὸ ἔργον τῶν χειρῶν σου, καί, τῇ ὀξείᾳ σου χρησάμενος ἐνεργείᾳ, σύντριψον τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας αὐτοῦ *(αὐτῆς)* ἐν τάχει, καὶ δὸς αὐτῷ *(αὐτῇ)* νίκας κατ᾿ αὐτοῦ καὶ τῶν ἀκαθάρτων αὐτοῦ πνευμάτων· ὅπως, τοῦ παρὰ σοῦ ἐλέους τυγχάνων *(τυγχάνουσα)*, καταξιωθῇ τῶν ἀθανάτων καὶ ἐπουρανίων σου μυστηρίων, καὶ δόξαν σοι ἀναπέμψῃ τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

*Εὐχή*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Λαός·* **Κύριε, ἐλέησον.**

*Ἱερεύς·* Ὁ Ὤν, Δέσποτα Κύριε, ὁ ποιήσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ δοὺς αὐτῷ ἐξουσίαν ζωῆς αἰωνίου· εἶτα ἐκπεσόντα διὰ τῆς ἁμαρτίας μὴ παριδών· ἀλλ᾽ οἰκονομήσας διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ σου τὴν σωτηρίαν τοῦ κόσμου· Αὐτὸς καὶ τὸ πλάσμα σου τοῦτο, λυτρωσάμενος ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, πρόσδεξαι εἰς τὴν βασιλείαν σου τὴν ἐπουράνιον. Διάνοιξον αὐτοῦ *(αὐτῆς)* τοὺς ὀφθαλμοὺς τῆς διανοίας, εἰς τὸ αὐγάσαι ἐν αὐτῷ *(αὐτῇ)* τὸν φωτισμὸν τοῦ Εὐαγγελίου σου. Σύζευξον τῇ ζωῇ αὐτοῦ *(αὐτῆς)* Ἄγγελον φωτεινόν, ῥυόμενον αὐτὸν *(αὐτὴν)* ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου, ἀπὸ συναντήματος πονηροῦ, ἀπὸ δαιμονίου μεσημβρινοῦ, ἀπὸ φαντασμάτων πονηρῶν.

*Καὶ ἐμφυσᾷ αὐτῷ (αὐτῇ) τρίτον ὁ ἱερεύς, καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ (αὐτῆς) καὶ τὸ στόμα, καὶ τὸ στῆθος, λέγων·*

Ἐξέλασον ἀπ’ αὐτοῦ *(αὐτῆς)* πᾶν πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα, κεκρυμμένον καὶ ἐμφωλεῦον αὐτοῦ *(αὐτῆς)* τῇ καρδίᾳ *(καὶ λέγει τοῦτο ἐκ γ΄)*. Πνεῦμα πλάνης, πνεῦμα πονηρίας, πνεῦμα εἰδωλολατρείας καὶ πάσης πλεονεξίας· πνεῦμα ψεύδους καὶ πάσης ἀκαθαρσίας, τῆς ἐνεργουμένης κατὰ τὴν διδασκαλίαν τοῦ Διαβόλου. Καὶ ποίησον αὐτὸν *(αὐτὴν)* πρόβατον λογικὸν τῆς ἁγίας ποίμνης τοῦ Χριστοῦ σου, μέλος τίμιον τῆς Ἐκκλησίας σου, σκεῦος ἡγιασμένον, υἱὸν *(θυγατέρα)* φωτὸς καὶ κληρονόμον τῆς βασιλείας σου· ἵνα, κατὰ τὰς ἐντολάς σου πολιτευσάμενος *(πολιτευσαμένη)*, καὶ φυλάξας *(φυλάξασα)* τὴν σφραγῖδα ἄθραυστον, καὶ διατηρήσας *(διατηρήσασα)* τὸν χιτῶνα ἀμόλυντον, τύχῃ τῆς μακαριότητος τῶν Ἁγίων ἐν τῇ βασιλείᾳ σου.

*Ἐκφώνως·*
Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ’ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λαός· **Ἀμήν.**

*Ἀποδυομένου δὲ καὶ ὑπολυομένου τοῦ βαπτιζομένου, εἰ ἐν ἡλικίᾳ ἐστί, στρέφει αὐτὸν ὁ ἱερεὺς ἐπὶ δυσμάς, ἄνω τὰς χεῖρας ἔχοντα, καὶ λέγει ἐκ γ΄·*

Ἀποτάσσῃ τῷ Σατανᾷ; Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ; Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ; Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ; Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ; *(γ΄)*

*Καὶ ἀποκρίνεται πρὸς ἕκαστον ὁ κατηχούμενος ἢ ὁ ἀνάδοχος αὐτοῦ, καὶ λέγει·*

**Ἀποτάσσομαι.** *(γ΄)*

*Καὶ ἐρωτᾷ πάλιν ὁ ἱερεὺς τὸν βαπτιζόμενον τρίς·*

*Ἱερεύς·* Ἀπετάξω τῷ Σατανᾷ; *(γ΄)*

*Ἀποκρίνεται·* **Ἀπεταξάμην.** *(γ΄)*

*Καὶ ὅταν εἴπῃ τρίς, λέγει ὁ ἱερεύς·*

Καὶ ἐμφύσησον, καὶ ἔμπτυσον αὐτῷ.

*Καὶ οὕτως ποιεῖ ὁ κατηχούμενος ἢ ὁ ἀνάδοχος. Εἶτα στρέφει αὐτὸν ὁ ἱερεὺς κατὰ ἀνατολάς, κάτω τὰς χεῖρας ἔχοντα, καὶ λέγει αὐτῷ τρίς·*

*Ἱερεύς·* Συντάσσῃ τῷ Χριστῷ; *(γ΄)*

*Ἀποκρίνεται·* **Συντάσσομαι.** *(γ΄)*

*Εἶτα πάλιν λέγει αὐτῷ ὁ ἱερεὺς ἐκ τρίτου·*

*Ἱερεύς·* Συνετάξω τῷ Χριστῷ; *(γ΄)*

*Ἀποκρίνεται·* **Συνεταξάμην.** *(γ΄)*

*Καὶ πάλιν λέγει ὁ ἱερεύς·*

Καὶ πιστεύεις αὐτῷ;

*Καὶ ἀποκρίνεται·*

**Πιστεύω αὐτῷ, ὡς Βασιλεῖ καὶ Θεῷ.**

*Καὶ λέγει ὁ κατηχούμενος ἢ ὁ ἀνάδοχος αὐτοῦ·*

*Τὸ Σύμβολον τῆς Πίστεως*

**Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα**
**Παντοκράτορα,**
**ποιητὴν οὐρανοῦ καὶ γῆς,**
**ὁρατῶν τε πάντων καὶ ἀοράτων.**

**Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν,**

**τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν μονογενῆ,**
**τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων·**
**φῶς ἐκ φωτός,**
**Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ,**
**γεννηθέντα οὐ ποιηθέντα,**
**ὁμοούσιον τῷ Πατρί,**
**δι᾽ οὗ τὰ πάντα ἐγένετο.**

**Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους**
**καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν**
**κατελθόντα ἐκ τῶν οὐρανῶν**
**καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου**
**καὶ ἐνανθρωπήσαντα.**
**Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου,**
**καὶ παθόντα καὶ ταφέντα.**
**Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.**
**Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς,**
**καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.**
**Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης**
**κρῖναι ζῶντας καὶ νεκρούς,**
**οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.**

**Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον,**
**τὸ Κύριον, τὸ ζωοποιόν,**
**τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον,**

**τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον**
**καὶ συνδοξαζόμενον,**
**τὸ λαλῆσαν διὰ τῶν Προφητῶν.**

**Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν**
**Ἐκκλησίαν.**
**Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.**
**Προσδοκῶ ἀνάστασιν νεκρῶν.**
**Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.**

*Καὶ ὅταν πληρώσῃ τὸ ἅγιον Σύμβολον, λέγει πάλιν πρὸς αὐτὸν ἐκ τρίτου·*

*Ἱερεύς·* Συνετάξω τῷ Χριστῷ; *(γ΄)*

*Ἀποκρίνεται·* **Συνεταξάμην.** *(γ΄)*

*Καὶ λέγει ὁ ἱερεύς·*

Καὶ προσκύνησον αὐτῷ.

*Καὶ προσκυνεῖ ὁ κατηχούμενος ἢ ὁ ἀνάδοχος λέγων·*

**Προσκυνῶ Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.**

*Ἱερεύς·* Εὐλογητὸς ὁ Θεός, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

*Εὐχή*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Λαός·* **Κύριε, ἐλέησον.**

*Ἱερεύς·* Δέσποτα, Κύριε, ὁ Θεὸς ἡμῶν, προσκάλεσαι τὸν δοῦλόν *(τὴν δούλην)* σου *(τόνδε, τήνδε)* πρὸς τὸ ἅγιόν σου φώτισμα, καὶ καταξίωσον αὐτὸν *(αὐτὴν)* τῆς μεγάλης ταύτης χάριτος τοῦ ἁγίου σου Βαπτίσματος. Ἀπόδυσον αὐτοῦ *(αὐτῆς)* τὴν παλαιότητα, καὶ ἀνακαίνισον αὐτὸν *(αὐτὴν)* εἰς τὴν ζωὴν τὴν αἰώνιον, καὶ πλήρωσον αὐτὸν *(αὐτὴν)* τῆς τοῦ Ἁγίου σου Πνεύματος δυνάμεως, εἰς ἕνωσιν τοῦ Χριστοῦ σου· ἵνα μηκέτι τέκνον σώματος ᾖ, ἀλλὰ τέκνον τῆς σῆς Βασιλείας. Εὐδοκίᾳ καὶ χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

*Ἀπόλυσις*

*Ἱερεύς·* Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

*Λαός·* **Ἀμήν.**

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ

*Εἰσέρχεται ὁ ἱερεὺς εἰς τὸ ἱερόν, καὶ ἀλάσσει λευκὴν ἱερατικὴν στολήν, ἤτοι ἐπιτραχήλιον καὶ φελώνιον· καὶ ἁπτομένων πάντων τῶν κηρῶν ἐν τῇ κολυμβήθρᾳ, λαβὼν τὸ Εὐαγγέλιον καὶ τὸ θυμιατόν, ἀπέρχεται ἐν αὐτῇ καὶ θυμιᾷ κύκλῳ καὶ ἀποδοὺς τὸ θυμιατόν, προσκυνεῖ.*

*Διάκονος·* Εὐλόγησον, Δέσποτα.

*Ἱερεύς·* Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

*Κατὰ τὴν περίοδον τοῦ Πάσχα τό·* Χριστὸς ἀνέστη...

*Τὰ Εἰρηνικά*

*Ὁ διάκονος ἢ αὐτὸς ὁ ἱερεύς·*

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ λαός, μεθ᾽ ἑκάστην δέησιν·* **Κύριε, ἐλέησον.**

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν *(δεῖνος)*, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ ἐπιφοιτήσει καὶ δυνάμει καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως καὶ εὐσεβείας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀναδειχθῆναι τὸ ὕδωρ τοῦτο ἀποτρόπαιον πάσης ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἄξιον *(ἀξίαν)* γενέσθαι τῆς ἀφθάρτου βασιλείας τὸν *(τὴν)* ἐν αὐτῷ βαπτιζόμενον *(βαπτιζομένην)*, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ νῦν προσερχομένου *(τῆς νῦν προσερχομένης)* τῷ ἁγίῳ Φωτίσματι καὶ τῆς σωτηρίας αὐτοῦ *(αὐτῆς)*, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸν υἱὸν *(αὐτὴν θυγατέρα)* φωτὸς καὶ κληρονόμον τῶν αἰωνίων ἀγαθῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν *(αὐτὴν)* σύμφυτον καὶ κοινωνὸν τοῦ θανάτου καὶ τῆς ἀναστάσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτῷ *(αὐτῇ)* τὴν στολὴν τοῦ Βαπτίσματος, καὶ τὸν ἀρραβῶνα τοῦ Πνεύματος, ἄσπιλον καὶ ἀμώμητον ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτῷ *(αὐτῇ)* τὸ ὕδωρ τοῦτο λουτρὸν παλιγγενεσίας, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ ἔνδυμα ἀφθαρσίας, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτόν *(αὐτήν)* τε καὶ ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Λαός·* **Σοί, Κύριε.**

*Καὶ τοῦ διακόνου λέγοντος ταῦτα, ὁ ἱερεὺς λέγει καθ᾽ ἑαυτὸν τὴν εὐχὴν ταύτην χαμηλοφώνως (μετὰ τῆς ἐκφωνήσεως καὶ τοῦ Ἀμήν)·*

*Εὐχή*

*Ἱερεύς·* Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον.

Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός, ὁ ἐτάζων καρδίας καὶ νεφρούς, καὶ τὰ κρύφια τῶν ἀνθρώπων ἐπιστάμενος μόνος· οὐ γάρ ἐστι πρᾶγμα ἀφανὲς ἐνώπιόν σου, ἀλλὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς σου· ὁ γινώσκων τὰ κατ᾽ ἐμέ, μὴ βδελύξῃ με, μηδὲ τὸ πρόσωπόν σου ἀποστρέψῃς ἀπ᾽ ἐμοῦ, ἀλλὰ πάριδέ μου τὰ παραπτώματα ἐν τῇ ὥρᾳ ταύτῃ, ὁ παρορῶν ἀνθρώπων ἁμαρτήματα εἰς μετάνοιαν, καὶ ἀπόπλυνόν μου τὸν ῥύπον τοῦ σώματος, καὶ τὸν σπίλον τῆς ψυχῆς, καὶ ὅλον με ἁγίασον ὁλοτελῆ τῇ δυνάμει σου τῇ ἀοράτῳ καὶ πνευματικῇ δεξιᾷ· ἵνα μή, ἐλευθερίαν ἄλλοις ἐπαγγελλόμενος καὶ ταύτην παρέχων πίστει τῇ ἠρτημένῃ τῆς σῆς ἀφάτου φιλανθρωπίας, αὐτὸς ὡς δοῦλος ἁμαρτίας ἀδόκιμος γένωμαι. Μή, Δέσποτα, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, μὴ ἀποστραφείην τεταπεινωμένος καὶ κατῃσχυμένος· ἀλλ᾽ ἐξαπόστειλόν μοι δύναμιν ἐξ ὕψους, καὶ ἐνίσχυσόν με πρὸς τὴν διακονίαν τοῦ προκειμένου σου Μυστηρίου, τοῦ μεγάλου καὶ

ἐπουρανίου. Καὶ μόρφωσόν σου τὸν Χριστὸν ἐν τῷ μέλλοντι *(τῇ μελλούσῃ)* ἀναγεννᾶσθαι διὰ τῆς ἐμῆς ἐλεεινότητος· καὶ οἰκοδόμησον αὐτὸν *(αὐτὴν)* ἐν τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν σου· καὶ μὴ καθέλῃς, ἀλλὰ φύτευσον αὐτὸν *(αὐτὴν)* φύτευμα ἀληθείας ἐν τῇ ἁγίᾳ σου Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ μὴ ἐκτίλῃς. Ὅπως προκόπτοντος αὐτοῦ *(προκοπτούσης αὐτῆς)* ἐν εὐσεβείᾳ, δοξάζηται καὶ δι' αὐτοῦ *(αὐτῆς)* τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Μετὰ δὲ τὸ συμπληρωθῆναι τὰ Εἰρηνικά, ἄνευ ἐκφωνήσεως, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην μεγαλοφώνως καὶ μετὰ φόβου Θεοῦ καὶ ἐξ ὅλης ψυχῆς καὶ συντετριμμένης καρδίας·*

Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου. *(γ΄)*

*Λαός·* **Δόξα σοι, Κύριε, δόξα σοι.** *(γ΄)*

Σὺ γὰρ βουλήσει ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, τῷ σῷ κράτει συνέχεις τὴν κτίσιν, καὶ τῇ σῇ προνοίᾳ διοικεῖς τὸν κόσμον. Σὺ ἐκ τεσσάρων στοιχείων τὴν κτίσιν

συναρμόσας, τέτταρσι καιροῖς τὸν κύκλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας. Σὲ τρέμουσιν αἱ νοεραὶ πᾶσαι Δυνάμεις· σὲ ὑμνεῖ ἥλιος· σὲ δοξάζει σελήνη· σοὶ ἐντυγχάνει τὰ ἄστρα· σοὶ ὑπακούει τὸ φῶς· σὲ φρίττουσιν ἄβυσσοι· σοὶ δουλεύουσιν αἱ πηγαί. Σὺ ἐξέτεινας τὸν οὐρανὸν ὡσεὶ δέρριν· σὺ ἐστερέωσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων· σὺ περιετείχισας τὴν θάλασσαν ψάμμῳ· σὺ πρὸς ἀναπνοὰς τὸν ἀέρα ἐξέχεας. Ἀγγελικαὶ Δυνάμεις σοὶ λειτουργοῦσιν, οἱ τῶν Ἀρχαγγέλων χοροὶ σὲ προσκυνοῦσι, τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ, κύκλῳ ἑστῶτα, καὶ περιϊπτάμενα, φόβῳ τῆς ἀπροσίτου σου δόξης κατακαλύπτεται. Σὺ γάρ, Θεὸς ὢν ἀπερίγραπτος, ἄναρχός τε καὶ ἀνέκφραστος, ἦλθες ἐπὶ τῆς γῆς, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· οὐ γὰρ ἔφερες, Δέσποτα, διὰ σπλάγχνα ἐλέους σου, θεᾶσθαι ὑπὸ τοῦ διαβόλου τυραννούμενον τὸ γένος τῶν ἀνθρώπων, ἀλλ' ἦλθες καὶ ἔσωσας ἡμᾶς. Ὁμολογοῦμεν τὴν χάριν, κηρύττομεν τὸν ἔλεον, οὐ κρύπτομεν τὴν εὐεργεσίαν. Τὰς τῆς φύσεως ἡμῶν γονὰς ἠλευθέρωσας, παρθενικὴν ἡγίασας μήτραν τῷ τόκῳ σου, πᾶσα ἡ κτίσις ὕμνησέ σε ἐπιφανέντα. Σὺ γάρ, ὁ Θεὸς ἡμῶν, ἐπὶ τῆς γῆς ὤφθης καὶ τοῖς ἀνθρώποις συνανεστράφης· Σὺ καὶ τὰ Ἰορδάνεια ῥεῖθρα ἡγίασας, οὐρανόθεν καταπέμψας αὐτοῖς τὸ Πανάγιόν σου Πνεῦμα, καὶ τὰς

κεφαλὰς τῶν ἐκεῖσε ἐμφωλευόντων συνέτριψας δρακόντων.

Αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο. *(γ΄)*
*Σφραγίζει Σταυροειδῶς τὸ ὕδωρ.*

*Λαός·* **Ἀμήν.** *(γ΄)*

Καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου. Ποίησον αὐτὸ ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξιτήριον, δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, ἀγγελικῆς ἰσχύος πεπληρωμένον. Φυγέτωσαν ἀπ᾽ αὐτοῦ οἱ ἐπιβουλεύοντες τῷ πλάσματί σου· ὅτι τὸ ὄνομά σου, Κύριε, ἐπεκαλεσάμην, τὸ θαυμαστὸν καὶ ἔνδοξον καὶ φοβερὸν τοῖς ὑπεναντίοις.

*Καὶ ἐμφυσᾷ εἰς τὸ ὕδωρ τρίς· καὶ σφραγίζει τοῦτο τῇ δεξιᾷ τρίτον καὶ ἐπεύχεται, λέγων·*

Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ τύπου τοῦ τιμίου Σταυροῦ σου πᾶσαι αἱ ἐναντίαι δυνάμεις. *(γ΄)*

*Λαός·* **Ἀμήν.** *(γ΄)*

Ὑποχωρησάτωσαν ἡμῖν πάντα τὰ ἐναέρια καὶ ἀφανῆ εἴδωλα, καὶ μὴ ὑποκρυβήτω τῷ ὕδατι τούτῳ δαιμόνιον σκοτεινόν, μηδὲ συγκαταβήτω τῷ βαπτιζομένῳ *(τῇ βαπτιζομένῃ)*, δεόμεθά σου, Κύριε, πνεῦμα πονηρόν, σκότωσιν λογισμῶν καὶ ταραχὴν διανοίας ἐπάγον. Ἀλλὰ σύ, Δέσποτα τῶν ἁπάντων, ἀνάδειξον τὸ ὕδωρ τοῦτο, ὕδωρ ἀπολυτρώσεως, ὕδωρ ἁγιασμοῦ, καθαρισμὸν σαρκὸς καὶ πνεύματος, ἄνεσιν δεσμῶν, ἄφεσιν παραπτωμάτων, φωτισμὸν ψυχῆς, λουτρὸν παλιγγενεσίας, ἀνακαινισμὸν πνεύματος, υἱοθεσίας χάρισμα, ἔνδυμα ἀφθαρσίας, πηγὴν ζωῆς. Σὺ γὰρ εἶπας, Κύριε· Λούσασθε καὶ καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. Σὺ ἐχαρίσω ἡμῖν τὴν ἄνωθεν ἀναγέννησιν, δι᾽ ὕδατος καὶ Πνεύματος. Ἐπιφάνηθι, Κύριε, τούτῳ· καὶ δὸς μεταποιηθῆναι τὸν *(τὴν)* ἐν αὐτῷ βαπτιζόμενον *(βαπτιζομένην)*, εἰς τὸ ἀποθέσθαι μὲν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἐνδύσασθαι δὲ τὸν νέον, τὸν ἀνακαινούμενον κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν· ἵνα, γενόμενος *(γενομένη)* σύμφυτος τῷ ὁμοιώματι τοῦ

θανάτου σου διὰ τοῦ Βαπτίσματος, κοινωνὸς καὶ τῆς ἀναστάσεώς σου γένηται· καὶ φυλάξας *(φυλάξασα)* τὴν δωρεὰν τοῦ Ἁγίου σου Πνεύματος καὶ αὐξήσας *(αὐξήσασα)* τὴν παρακαταθήκην τῆς χάριτος, δέξηται τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ συγκαταριθμηθῇ τοῖς πρωτοτόκοις, τοῖς ἀπογεγραμμένοις ἐν οὐρανῷ, ἐν σοὶ τῷ Θεῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ.

Ὅτι σοὶ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, ἅμα τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

*Ἱερεύς·* Εἰρήνη πᾶσι.

*Λαός·* **Καὶ τῷ πνεύματί σου.**

*Διάκονος·* Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Λαός· **Σοί, Κύριε.**

*Καὶ ἐμφυσᾷ ὁ ἱερεὺς εἰς τὸ ἀγγεῖον τοῦ ἐλαίου, βασταζόμενον ὑπὸ τοῦ ἀναδόχου, καὶ σφραγίζει διὰ τῆς χειρὸς τρὶς τοῦτο, ἤτοι τὸ ἔλαιον, καὶ λέγει τὴν παροῦσαν εὐχήν·*

### *Εὐχὴ τοῦ Ἐλαίου*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Λαός·* **Κύριε, ἐλέησον.**

*Ἱερεύς·* Δέσποτα, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ τοῖς ἐν τῇ κιβωτῷ τοῦ Νῶε περιστερὰν ἀποστείλας, κάρφος ἐλαίας ἔχουσαν ἐπὶ τοῦ στόματος, καταλλαγῆς σύμβολον, σωτηρίας τε τῆς ἀπὸ τοῦ κατακλυσμοῦ, καὶ τὸ τῆς χάριτος μυστήριον δι᾿ ἐκείνων προτυπώσας· ὁ καὶ τῆς ἐλαίας τὸν καρπὸν εἰς πλήρωσιν τῶν ἁγίων σου Μυστηρίων χορηγήσας, ὁ δι᾿ αὐτοῦ καὶ τοὺς ἐν νόμῳ Πνεύματος Ἁγίου πληρώσας καὶ τοὺς ἐν χάριτι τελειῶν· Αὐτὸς εὐλόγησον καὶ τοῦτο τὸ ἔλαιον, τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος, ὥστε γενέσθαι αὐτὸ χρίσμα ἀφθαρσίας, ὅπλον δικαιοσύνης, ἀνακαινισμὸς ψυχῆς καὶ σώματος, πάσης διαβολικῆς ἐνεργείας ἀποτρόπαιον, εἰς ἀπαλλαγὴν κακῶν, πᾶσι τοῖς χριομένοις αὐτὸ ἐν πίστει, ἢ καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ.

Εἰς δόξαν σήν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

*Ὁ δὲ ἱερεύς, λαβὼν τὸ ἀγγεῖον τοῦ ἐλαίου, καταχέει ἐξ αὐτοῦ ἐν τῇ κολυμβήθρᾳ, ποιῶν Σταυροὺς γ΄, καὶ ἐν ἑκάστῳ Σταυρῷ ψάλλεται τό·*

*Διάκονος·* Πρόσχωμεν. *(γ΄)*

*Λαός·* **Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.** *(γ΄)*

*Εἶτα ἐκφωνεῖ ὁ ἱερεύς·*

Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **Ἀμήν.**

*Καὶ προσφέρεται ὁ βαπτιζόμενος. Ὁ δὲ ἱερεὺς λαμβάνει ἐκ τοῦ ἁγίου ἐλαίου διὰ τῶν τριῶν δακτύλων τῆς δεξιᾶς καὶ ποιεῖ Σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου τοῦ βαπτιζομένου, λέγων·*

Χρίεται ὁ δοῦλος *(ἡ δούλη)* τοῦ Θεοῦ *(ὁ ἢ ἡ δεῖνα)* ἔλαιον ἀγαλλιάσεως, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

*Καὶ σφραγίζων αὐτοῦ τὸ στῆθος, λέγει·* Εἰς ἴασιν ψυχῆς καὶ σώματος.

*Εἰς τὴν ῥίνα·* Εἰς ὀσμὴν εὐωδίας πνευματικῆς.

*Εἰς τὸ στόμα·* Τὸ στόμα μου λαλήσει σοφίαν.

*Εἰς τὰς ἀκοάς·* Εἰς ἀκοὴν πίστεως.

*Εἰς τὰς χεῖρας·* Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με.

*Εἰς τοὺς πόδας·* Τοῦ πορεύεσθαι τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

*Ὑποκάτω τῶν ποδῶν·* Τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

*Εἰς τὰ μετάφρενα·* Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν Σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι.

## *Τὸ Βάπτισμα*

*Καὶ ὅταν χρισθῇ μετὰ τοῦ ἐλαίου ὅλον τὸ σῶμα ὑπὸ τοῦ ἀναδόχου, βαπτίζει αὐτὸν ὁ ἱερεύς, ὄρθιον καὶ βλέποντα κατὰ ἀνατολὰς αὐτὸν κατέχων καὶ λέγων·*

Βαπτίζεται ὁ δοῦλος *(ἡ δούλη)* τοῦ Θεοῦ *(ὁ ἢ ἡ δεῖνα)* εἰς τὸ ὄνομα τοῦ Πατρός· καὶ τοῦ Υἱοῦ· καὶ τοῦ Ἁγίου Πνεύματος, Ἀμήν.
*Ἑκάστη προσρήσει κατάγων αὐτὸν καὶ ἀνάγων.*

*Καὶ λούει αὐτοῦ ὁ ἱερεὺς ὅλον τὸ σῶμα καλῶς.*

*Εἶτα λαμβάνει αὐτὸν ὁ ἀνάδοχος ἐκ τῆς ἁγίας κολυμβήθρας διὰ τῶν χειρῶν τοῦ ἱερέως ὑπτίαις χερσί, σαβάνου (σινδονίου) λευκοῦ πρότερον ἐφαπλωθέντος ἐν ταῖς χερσίν.*

*Ὁ Χορὸς ψάλλει·*

*Ψαλμὸς λα΄ (31)*

Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. *(γ΄)*

[Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.

Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν.

Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ᾽ ἐμὲ ἡ χείρ σου, ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν.

Τὴν ἀνομίαν μου ἐγνώρισα καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. Εἶπα· Ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν καιρῷ εὐθέτῳ. Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.

Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με· τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.

Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.

Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ.

Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.]

## *Ἡ Χρίσις*

*Ὁ ἱερεὺς χρίει τὸν βαπτισθέντα τῷ ἁγίῳ Μύρῳ, ποιῶν τοῦ Σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, τοῦ στήθους, τῶν μυκτήρων, τοῦ στόματος, τῶν δύο ὤτων, τῶν χειρῶν, τῶν ποδῶν καὶ τῶν μεταφρένων, λέγων·*

Σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίου. Ἀμήν.

## *Ἡ Τριχοκουρία*

*Ὁ ἱερεὺς κείρει τὴν κόμην τῆς κεφαλῆς τοῦ παιδίου Σταυροειδῶς, λέγων·*

Κείρεται ὁ δοῦλος *(ἡ δούλη)* τοῦ Θεοῦ *(δεῖνα)* τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ *(αὐτῆς)*, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

*Λαός·* **Ἀμήν.**

## *Ἡ Ἔνδυσις*

*Εἶτα ἐνδύων αὐτὸν τὸν χιτῶνα λέγει·*

Ἐνδύεται ὁ δοῦλος *(ἡ δούλη)* τοῦ Θεοῦ *(ὁ ἢ ἡ δεῖνα)* χιτῶνα δικαιοσύνης, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

*Εἴθισται ἵνα δίδηται τῷ νεοφωτίστῳ μικρὸς Σταυρός.*

*Καὶ ψάλλεται Τροπάριον εἰς ἦχον πλ. δ΄·*

**Χιτῶνά μοι παράσχου φωτεινόν, ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πολυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν.** *(γ΄)*

*Ὁ ἱερεὺς νιψάμενος, ἀναγινώσκει τὴν εὐχὴν τοῦ Μύρου καὶ τὰς ὑπολοίπους εὐχὰς χαμηλοφώνως, ὁ δὲ χορὸς ψάλλει τὰς Καταβασίας* *(βλ. σ. 92).*

---

*Εὐχὴ τοῦ Μύρου*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.
*Λαός·* Κύριε, ἐλέησον.

*Ἱερεύς·* Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν, ὁ ἥλιος τῆς δικαιοσύνης, ὁ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας, διὰ τῆς ἐπιφανείας τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, καὶ χαρισάμενος ἡμῖν τοῖς ἀναξίοις τὴν μακαρίαν κάθαρσιν ἐν τῷ ἁγίῳ Βαπτίσματι, καὶ τὸν θεῖον ἁγιασμὸν ἐν τῷ ζωοποιῷ χρίσματι· ὁ καὶ νῦν εὐδοκήσας ἀναγεννῆσαι τὸν δοῦλόν σου τὸν *(τὴν δούλην σου τὴν)* νεοφώτιστον δι᾽ ὕδατος καὶ Πνεύματος, καὶ τὴν τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἄφεσιν αὐτῷ *(αὐτῇ)* δωρησάμενος· αὐτὸς οὖν, Δέσποτα παμβασιλεῦ εὔσπλαγχνε, χάρισαι αὐτῷ *(αὐτῇ)* καὶ τὴν σφραγῖδα τῆς δωρεᾶς τοῦ

ἁγίου καὶ παντοδυνάμου καὶ προσκυνητοῦ σου Πνεύματος, καὶ τὴν μετάληψιν τοῦ ἁγίου Σώματος, καὶ τοῦ τιμίου Αἵματος τοῦ Χριστοῦ σου. Φύλαξον αὐτὸν *(αὐτὴν)* ἐν τῷ σῷ ἁγιασμῷ· βεβαίωσον ἐν τῇ Ὀρθοδόξῳ πίστει· ῥῦσαι ἀπὸ τοῦ πονηροῦ, καὶ πάντων τῶν ἐπιτηδευμάτων αὐτοῦ *(αὐτῆς)*, καὶ τῷ σωτηρίῳ σου φόβῳ, ἐν ἁγνείᾳ καὶ δικαιοσύνῃ τὴν ψυχὴν αὐτοῦ *(αὐτῆς)* διατήρησον· ἵνα, ἐν παντὶ ἔργῳ καὶ λόγῳ εὐαρεστῶν *(εὐαρεστοῦσά)* σοι, υἱὸς *(θυγάτηρ)* καὶ κληρονόμος τῆς ἐπουρανίου σου γένηται βασιλείας. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* Ἀμήν.

## *Εὐχαὶ τῆς Ἀπολούσεως*

*Ἱερεύς·* Εἰρήνη πᾶσι.

*Λαός·* Καὶ τῷ πνεύματί σου.

*Διάκονος·* Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

*Λαός·* Σοί, Κύριε.

### *Εὐχὴ α΄*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Λαός·* Κύριε, ἐλέησον.

*Ἱερεύς·* Ὁ λύτρωσιν ἁμαρτιῶν, διὰ τοῦ ἁγίου Βαπτίσματος, τῷ δούλῳ *(τῇ δούλῃ)* σου δωρησάμενος, καὶ ζωὴν ἀναγεννήσεως αὐτῷ *(αὐτῇ)* χαρισάμενος· Αὐτός, Δέσποτα Κύριε, τὸν φωτισμὸν τοῦ προσώπου σου ἐν τῇ καρδίᾳ αὐτοῦ *(αὐτῆς)* ἐναυγάζειν διὰ παντὸς εὐδόκησον· τὸν θυρεὸν τῆς πίστεως αὐτοῦ *(αὐτῆς)* ἀνεπιβούλευτον ἐχθροῖς διατήρησον· τὸ τῆς ἀφθαρσίας ἔνδυμα, ὃ περιεβάλετο, ἀρρύπωτον ἐν αὐτῷ *(αὐτῇ)* καὶ ἀμόλυντον διαφύλαξον· ἄθραυστον ἐν αὐτῷ *(αὐτῇ)* τὴν πνευματικὴν σφραγῖδα τῇ χάριτί σου διατηρῶν, καὶ ἵλεως αὐτῷ *(αὐτῇ)* τε καὶ ἡμῖν γενόμενος, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
*Λαός·* Ἀμήν.

## *Εὐχὴ β΄*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.
*Λαός·* Κύριε, ἐλέησον.

*Ἱερεύς·* Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς κολυμβήθρας τὴν οὐράνιον ἔλλαμψιν τοῖς βαπτιζομένοις παρέχων· ὁ ἀναγεννήσας τὸν δοῦλόν *(τὴν δούλην)* σου τὸν *(τὴν)* νεοφώτιστον δι᾽ ὕδατος καὶ πνεύματος, καὶ τὴν τῶν ἑκουσίων

καὶ ἀκουσίων ἁμαρτημάτων ἄφεσιν αὐτῷ *(αὐτῇ)* δωρησάμενος, ἐπίθες αὐτῷ *(αὐτῇ)* τὴν χεῖρά σου τὴν κραταιάν, καὶ φύλαξον αὐτὸν *(αὐτὴν)* ἐν τῇ δυνάμει τῆς σῆς ἀγαθότητος· ἄσυλον τὸν ἀρραβῶνα διαφύλαξον· καὶ ἀξίωσον αὐτὸν *(αὐτὴν)* εἰς τὴν ζωὴν τὴν αἰώνιον, καὶ εἰς τὴν σὴν εὐαρεστίαν. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
*Λαός·* Ἀμήν.

*Ἱερεύς·* Εἰρήνη πᾶσι.
*Λαός·* Καὶ τῷ πνεύματί σου.
*Διάκονος·* Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
*Λαός·* Σοί, Κύριε.

## *Εὐχὴ γ´*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.
*Λαός·* Κύριε, ἐλέησον.

*Ἱερεύς·* Ὁ ἐνδυσάμενος *(ἡ ἐνδυσαμένη)* σέ, τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, σοὶ ὑπέκλινε σὺν ἡμῖν τὴν ἑαυτοῦ *(ἑαυτῆς)* κεφαλήν· ὃν *(ἣν)* διαφύλαξον ἀήττητον ἀγωνιστὴν διαμεῖναι κατὰ τῶν μάτην ἔχθραν φερομένων κατ᾽ αὐτοῦ *(αὐτῆς)* τε καὶ ἡμῶν· τῷ δὲ σῷ ἀφθάρτῳ στεφάνῳ μέχρι

τέλους νικητὰς πάντας ἀνάδειξον. Ὅτι σόν ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
*Λαός·* Ἀμήν.

### *Εὐχὴ εἰς Τριχοκουρίαν*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.
*Λαός·* Κύριε, ἐλέησον.

*Ἱερεύς·* Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος εὐπρεποῦς κατασκευάσας αὐτόν, ὡς ἂν τὸ σῶμα ἐξυπηρετῆσαι τῇ λογικῇ ψυχῇ· κεφαλὴν μὲν ἐπὶ τῶν ὑψηλοτάτων θείς, καὶ ἐν αὐτῇ τὰς πλείστας τῶν αἰσθήσεων καθιδρύσας, μὴ παρεμποδιζούσας ἀλλήλαις· ταῖς δὲ θριξὶ τὴν κεφαλὴν ὀροφώσας, πρὸς τὸ μὴ βλάπτεσθαι ταῖς μεταβολαῖς τῶν ἀέρων, καὶ πάντα τὰ μέλη αὐτῷ χρησίμως ἐμφυτεύσας, ἵνα διὰ πάντων εὐχαριστῇ σοι τῷ ἀριστοτέχνῃ· Αὐτός, Δέσποτα, ὁ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς σου Παύλου τοῦ Ἀποστόλου ἐντειλάμενος ἡμῖν πάντα εἰς δόξαν σὴν ποιεῖν, τὸν προσελθόντα δοῦλόν *(τὴν προσελθοῦσαν δούλην)* σου *(τόνδε ἢ τήνδε)* ἀπαρχὴν ποιήσασθαι κείρασθαι τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ *(αὐτῆς)*, εὐλόγησον,

ἅμα τῷ αὐτοῦ *(αὐτῆς)* ἀναδόχῳ· καὶ δὸς αὐτοῖς πάντα μελετᾶν ἐν τῷ νόμῳ σου καὶ τὰ εὐάρεστά σοι πράττειν. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* Ἀμήν.

---

*Μετὰ τὴν ἀνάγνωσιν τῶν εὐχῶν, ὁ ἱερεὺς θυμιᾷ τὴν κολυμβήθραν, περιερχόμενος αὐτὴν γύρωθεν μετὰ τοῦ ἀναδόχου, κατ᾽ ἐνώπιον ἱσταμένου καὶ βαστάζοντος τὸ νεοφώτιστον βρέφος καὶ ἁπτομένην λαμπάδα, καὶ ψάλλων εἰς ἦχον α´·*

**Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.** *(γ´)*

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·**

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

**Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.**

*Διάκονος·* Δύναμις.

**Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.**

*Ἀπόστολος*

*Ὁ Ἀναγνώστης τὸ Προκείμενον. Ἦχος γ΄·*

Κύριος φωτισμός μου καὶ σωτήρ μου.

*Διάκονος·* Πρόσχωμεν.

*Στίχ.* Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

*Διάκονος·* Σοφία.

*Ἀναγνώστης·* Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. *(Κεφ. στ΄ 3-11)*

*Διάκονος·* Πρόσχωμεν.

*Ἀναγνώστης·* Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα, τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄν-

θρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ, εἰδότες ὅτι Χριστός, ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

*Ἱερεύς·* Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

*Λαός·* **Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.**

*Ἀναγινώσκεται ἐκ τῆς Ὡραίας Πύλης·*

*Τὸ Ἅγιον Εὐαγγέλιον*

*Διάκονος·* Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

*Ἱερεύς·* Εἰρήνη πᾶσι.

*Λαός·* **Καὶ τῷ πνεύματί σου.**

*Ἱερεύς·* Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα. *(Κεφ. κη΄ 16-20)*

*Διάκονος·* Πρόσχωμεν.

*Λαός·* **Δόξα σοι, Κύριε, δόξα σοι.**

*Ἱερεύς·* Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτόν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδού, ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

*Λαός·* **Δόξα σοι, Κύριε, δόξα σοι.**

## *Δεήσεις*

*Διάκονος·* Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

*Λαός·* **Κύριε, ἐλέησον.** *(γ´)*

*Διάκονος·* Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας καὶ σωτηρίας τῶν δούλων σου, τοῦ *(τῆς)* νεοφωτίστου *(δεῖνος)*, τοῦ *(τῆς)* ἀναδόχου *(δεῖνος)* καὶ παντὸς τοῦ περιεστῶτος λαοῦ.

*Λαός·* **Κύριε, ἐλέησον.** *(γ´)*

*Ἱερεύς·* Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Χορός·* **Ἀμήν.**

*Ἱερεύς·* Εἰρήνη πᾶσι.

*Λαός·* **Καὶ τῷ πνεύματί σου.**

*Διάκονος·* Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

*Λαός·* **Σοί, Κύριε.**

*Εὐχή*

*Διάκονος·* Τοῦ Κυρίου δεηθῶμεν.

*Λαός·* **Κύριε, ἐλέησον.**

*Ὁ ἱερεύς, κρατῶν τὴν δεξιὰν αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ βαπτισθέντος, ἐπεύχεται·*

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας διὰ τῆς σῆς ἀγαθότητος ἁγιάσας τοὺς εἰς σὲ πιστεύοντας, εὐλόγησον τὸ παρὸν νήπιον *(τὸν παρόντα, τὴν παροῦσαν)*, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἡ εὐλογία σου καταβήτω. Καὶ ὡς εὐλόγησας διὰ τοῦ προφήτου Σαμουήλ, Δαυῒδ τὸν βασιλέα, εὐλόγησον καὶ τὴν κεφαλὴν τοῦ δούλου *(τῆς δούλης)* σου *(τοῦδε ἢ τῆσδε)*, διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ἐπιφοιτῶν αὐτῷ *(αὐτῇ)* τῷ Πνεύματί σου τῷ Ἁγίῳ, ὅπως προκόπτων *(προκόπτουσα)* ἐν ἡλικίᾳ καὶ πολιᾷ γήρως, δόξαν σοι ἀναπέμψῃ, καὶ ἴδῃ τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ *(αὐτῆς)*.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*Λαός·* **᾿Αμήν.**

*Καὶ λαβὼν σπόγγον καινὸν ἢ βάμβακα μεθ' ὕδατος, ὁ ἱερεὺς ἀποσπογγίζει τὸ πρόσωπον τοῦ παιδίου, λέγων·*

Ἐβαπτίσθης, ἐφωτίσθης, ἐμυρώθης, ἡγιάσθης, ἀπελούσθης εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν.

## *Ἀπόλυσις*

*Ἱερεύς·* Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

*Λαός·* **Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι·**

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

**Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Πάτερ ἅγιε, εὐλόγησον.**

*Ἱερεύς·* Ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τοῦ τιμίου, ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων

ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ Ἁγίου...*, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.
** Οὗ τὸ ὄνομα ἔλαβεν ὁ νεοφώτιστος.*

Δι᾿ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

*Λαός·* **Ἀμήν.**

---

*Καὶ οὕτως ἀπέρχονται ὁ νεοφώτιστος σὺν τῷ ἀναδόχῳ αὐτοῦ ἐν τῷ τοῦ νεοφωτίστου οἴκῳ, πάντων λαμπαδηφορούντων καὶ ψαλλόντων καθ᾿ ὁδὸν τό·*

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε... *ἤ·* Τὴν παγκόσμιον δόξαν...

*Σημείωσις*

*Ἐὰν ἡ Βάπτισις τελεσθῇ τῇ ἡμέρᾳ τῶν Θεοφανείων, ὁ ἱερεὺς παραλείπει τὰς εὐχὰς τοῦ ἁγιασμοῦ τοῦ ὕδατος. Ἀντ᾽ αὐτοῦ χρησιμοποιεῖ τὸν μέγαν Ἁγιασμόν, καὶ ἐκχέων Σταυροειδῶς ἐν τῇ κολυμβήθρᾳ ψάλλει* Ἐν Ἰορδάνῃ... *τρίς, καὶ ἀμέσως ἄρχεται τὴν εὐχὴν τοῦ ἐλαίου (*Εἰρήνη πᾶσι, *σ. 50) καὶ τὰ λοιπὰ κανονικῶς ὡς ἔχουσι.*

*ΔΙΑΤΑΞΙΣ*

*Πρόσεχε, ὦ ἱερεῦ, καὶ παράγγειλον εἰς τὴν μαῖαν σὺν τῇ μητρὶ τοῦ νεοφωτίστου, ἵνα μὴ κολυμβήσωσιν αὐτὸν ἢ τὸ πρόσωπον αὐτοῦ νίψωσιν ἕως ἡμερῶν ζ΄, τῇ δὲ ὀγδόῃ ἡμέρᾳ πλυνάτωσαν καὶ λουσάτωσαν αὐτόν, καὶ τὰ ἀπολούσματα τούτου ῥιψάτωσαν ἐν τόπῳ ὅπου οὐδεὶς βαδίζει ἐκεῖσε ἢ εἰς ποταμὸν ἢ εἰς τὸ χωνευτήριον τοῦ Ναοῦ.*

# ΚΑΤΑΒΑΣΙΑΙ

## Τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ

*Ἐκτὸς τῆς περιόδου τοῦ Πάσχα.*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄.*

Σταυρὸν χαράξας Μωσῆς, ἐπ᾿ εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν· ἐπ᾿ εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν· ὅτι δεδόξασται.

*ᾨδὴ γ΄.*

Ῥάβδος εἰς τύπον τοῦ Μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρῴην, Ἐκκλησίᾳ νῦν, ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα.

*ᾨδὴ δ΄.*

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

*Ὠδὴ ε΄.*

Ὢ τρισμακάριστον Ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ Κύριος· δι᾽ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

*Ὠδὴ ϛ΄.*

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν Κόσμον φωτίσαντος.

*Ὠδὴ ζ΄.*

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον· ἀλλ᾽ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· Ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Ὠδὴ η΄.*

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

*Ὠδὴ θ΄.*

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον· δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

# Τοῦ Πάσχα

*Ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα μέχρι τῆς Ἀποδόσεως τῆς Ἑορτῆς, ἤτοι τῇ Τετάρτῃ πρὸ τῆς Ἀναλήψεως.*

*ᾨδὴ α´. Ἦχος α´.*

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοί. Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

*ᾨδὴ γ´.*

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

*ᾨδὴ δ´.*

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

*Ὠδὴ ε΄.*

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

*Ὠδὴ ϛ΄.*

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

*Ὠδὴ ζ΄.*

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

*Ὠδὴ η΄.*

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρίς ἐστι πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Ὠδὴ θ΄.*

Ὁ Ἄγγελος ἐβόα, τῇ κεχαριτωμένῃ, Ἁγνὴ Παρθένε χαῖρε καὶ πάλιν ἐρῶ χαῖρε, ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου, ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ Τόκου σου.

*The Service takes place in the Church. The person about to accept the Orthodox faith stands before the Royal Doors, facing the priest.*

*Priest:* Blessed is the kingdom of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

*People:* **Amen.**

*Priest:* Glory to you, our God, glory to you.

Heavenly King, Comforter, the Spirit of truth, present everywhere and filling all things, the treasury of good and giver of life, come and dwell in us and cleanse us from every impurity, and save our souls, Gracious One.

*During the Easter period, instead of* Heavenly King *is chanted:*

Christ is risen from the dead, trampling down death by death, and on those in the tombs bestowing life. *(3)*

**Our Father in heaven,**
**hallowed be your name,**
**your kingdom come,**
**your will be done on earth as it is in heaven.**
**Give us today our daily bread,**
**and forgive us our sins,**
**as we forgive those who sin against us.**
**And lead us not into temptation,**
**but deliver us from evil.**

*Priest:* For yours is the kingdom and the power and the glory, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

*People:* **Amen.**

*Dismissal Hymn of Pentecost*

Blessed are you, Christ our God, who revealed the fishermen as most wise, sending down on them the Holy Spirit, and through them casting a net over all the world; Loving One, glory to you.

*The priest invites the person about to be received to step forward with his/her Godparent and to read the following Confession and the Symbol of Faith.*

through him all things were made.

Who for us and for our salvation
came down from heaven,
and was incarnate of the Holy Spirit
 and the Virgin Mary,
and became human,
and was crucified for us under Pontius Pilate,
and suffered and was buried,
and rose on the third day according to the
 Scriptures,
and ascended into heaven,
and is seated at the right hand of the Father,
and will come again in glory
to judge the living and the dead,
and his kingdom will have no end.

And in the Holy Spirit,
the Lord, the giver of life,
who proceeds from the Father,
who together with the Father and the Son
 is worshipped and glorified,
and who spoke through the Prophets.

In one holy, catholic and apostolic Church.
I acknowledge one baptism for the forgiveness
 of sins.

One and all his schemes, and through your saving fear keep his *(her)* soul in purity and righteousness; so that pleasing you in every word and deed, he *(she)* may become a son *(daughter)* and inheritor of your heavenly kingdom.
**The priest turns to the Godparent, who says the name.*

For you are our God, a God of mercy and salvation, and to you we offer glory, Father, Son and Holy Spirit, now and ever and to the ages of ages.

*People:* **Amen.**

### *Chrismation*

*After the prayer, the priest anoints the person with the holy Chrism, making the sign of the Cross on the forehead, breast, nose, mouth, ears, hands, legs, feet and back, saying each time:*

The seal of the gift of the Holy Spirit. Amen.

### *Prayer at Cutting of the Hair*

*Deacon:* Let us pray to the Lord.

### *Cutting of the Hair*

*The priest cuts the hair of the person's head in a Cross shape, saying:*

The hair of the servant of God (name) is cut, in the name of the Father and the Son and the Holy Spirit.

*People:* **Amen.**

### *Litany*

*Deacon:* Have mercy on us, O God, according to your great mercy, we ask you, hear us and have mercy.

*People:* **Lord, have mercy.** *(3)*

*Deacon:* Again, we pray for mercy, life, peace, health, and salvation of your servants, the newly enlightened one (name), the Godparent (name), and all the people here present.

*People:* **Lord, have mercy.** *(3)*

holy, glorious and praiseworthy Apostles; of the holy, glorious and triumphant Martyrs; of our holy and God-bearing Fathers and Mothers; of the holy and righteous Ancestors of God Joachim and Anna; of Saint...*; and of all the Saints, have mercy on us and save us, as a good and loving God.

**The Saint whose name the newly chrismated person has received.*

Through the prayers of our holy Fathers, Lord Jesus Christ our God, have mercy on us and save us.

*People:* **Amen.**